Φλεόντων δωμάτων ὑπέρφευ
Ὑπὲρ τὸ βέλτιστον. ἔστω δ' ἀπήμαντον ὥςτε κἀπαρκεῖν
εὖ πραπίδων λαχόντι.
Οὐ γάρ ἐστιν ἔπαλξις πλούτου πρὸς κόρον ἀνδρὶ
Λακτίσαντι μέγαν Δίκας βωμὸν, εἰς ἀφάνειαν.
Βιᾶται δ' ἁ τάλαινα Πειθὼ, ἀντ. α΄.
Προβουλόπαις ἄφερτος Ἄτας·
Ἄκος δὲ πᾶν μάταιον.
Οὐκ ἐκρύφθη, πρέπει δὲ, φῶς αἰνολαμπὲς, σίνος·
Κακοῦ δὲ χαλκοῦ τρόπον τρίβῳ τε καὶ προςβολαῖς
Μελαμπαγὴς πέλει δικαιωθεὶς, ἐπεὶ διώ-
κει παῖς ποτανὸν ὄρνιν,
Πόλει πρόςτριμμ' ἄφερτον ἐνθείς.
Λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν· τὸν δ' ἐπίστροφον τῶνδε
φῶτ' ἄδικον καθαιρεῖ.
Οἷος καὶ Πάρις ἐλθὼν ἐς δόμον τὸν Ἀτρειδᾶν
Ἤισχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικός.
Λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας κλόνους λογχίμους τε καὶ
ναυβάτας ὁπλισμοὺς στρ. β΄.
Ἄγουσά τ' ἀντίφερνον Ἰλίῳ φθορὰν
Βέβακεν ῥίμφα διὰ πυλᾶν ἄτλητα τλᾶσα.
Πολλὰ δ' ἔστενον τόδ' ἐννέποντες δόμιον προφῆται·
Ἰὼ, ἰὼ δῶμα, δῶμα καὶ πρόμοι,
Ἰὼ λέχος καὶ στίβοι φιλάνορες.
Πάρεστι σιγὰς ἀτίμοις, ἀλοίδορος,
ἅδιστος ἀφεμένων ἰδεῖν.
Πόθῳ δ' ὑπερποντίας
Φάσμα δόξει δόμων ἀνάσσειν.
Εὐμόρφων δὲ κολοσσῶν ἔχθεται χάρις ἀνδρί·
Ὀμμάτων δ' ἐν ἀχηνίαις ἔῤῥει πᾶσ' Ἀφροδίτα.

---

321. ὥστ' ἀπαρκεῖν — v. λαχόντα 323. ἐκλακτίσαντι — MSS. μεγάλα 326. (ἄγος) — v. παμμάταιον 328. τε om. — MSS. προβολαῖς 329. f. μελαμπαγοῦς — MSS. πτανὸν (πτανόν τιν') 330. θείς 331. f τούτων φ. — καθαίρει 332. οἶκον τὸν — τῶν 333. MSS. κλοπαῖς 337. v. πολὺ δ' ἔστενον (— ἀνέστενον) — τό δ' f. τάδε — v. δόμων 338. ἰὼ δῶμα καὶ 340. MSS. σιγᾶσ' (σιγᾶς) ἄτιμος f. σῖγ' ἐς ἀτίμους 341. ὑπὲρ ποντίας — (ἄναξε) f. ἄναξιν 343. v. εὐμ. γὰρ et — τἀνδρί.